9 10 9καὶ ὀργὴ θυμοῦ κυρίου ἐπ᾽ αὐτοῖς, καὶ ἀπῆλθεν. 10καὶ ἡ νεφέλη
ἀπέστη ἀπὸ τῆς σκηνῆς, καὶ ἰδοὺ Μαριαμ λεπρῶσα ὡσεὶ χιών·
11 καὶ ἐπέβλεψεν Ααρων ἐπὶ Μαριαμ, καὶ ἰδοὺ λεπρῶσα. 11καὶ εἶπεν
Ααρων πρὸς Μωυσῆν Δέομαι, κύριε, μὴ συνεπιθῇ ἡμῖν ἁμαρτίαν,
12 διότι ἠγνοήσαμεν καθότι ἡμάρτομεν· 12μὴ γένηται ὡσεὶ ἴσον θα-
νάτῳ, ὡσεὶ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς καὶ κατε-
13 σθίει τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς. 13καὶ ἐβόησεν Μωυσῆς πρὸς
14 κύριον λέγων Ὁ θεός, δέομαί σου, ἴασαι αὐτήν. 14καὶ εἶπεν κύριος
πρὸς Μωυσῆν Εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσ-
ωπον αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ ἡμέρας; ἀφορισθήτω ἑπτὰ
15 ἡμέρας ἔξω τῆς παρεμβολῆς καὶ μετὰ ταῦτα εἰσελεύσεται. 15καὶ
ἀφωρίσθη Μαριαμ ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας· καὶ ὁ λαὸς
οὐκ ἐξῆρεν, ἕως ἐκαθαρίσθη Μαριαμ.

16 16Καὶ μετὰ ταῦτα ἐξῆρεν ὁ λαὸς ἐξ Ασηρωθ καὶ παρενέβαλον
ἐν τῇ ἐρήμῳ τοῦ Φαραν.

13 1Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων 2Ἀπόστειλον σεαυ-
τῷ ἄνδρας, καὶ κατασκεψάσθωσαν τὴν γῆν τῶν Χαναναίων, ἣν
ἐγὼ δίδωμι τοῖς υἱοῖς Ισραηλ εἰς κατάσχεσιν, ἄνδρα ἕνα κατὰ
φυλὴν κατὰ δήμους πατριῶν αὐτῶν ἀποστελεῖς αὐτούς, πάντα
3 ἀρχηγὸν ἐξ αὐτῶν. 3καὶ ἐξαπέστειλεν αὐτοὺς Μωυσῆς ἐκ τῆς ἐρή-
μου Φαραν διὰ φωνῆς κυρίου· πάντες ἄνδρες ἀρχηγοὶ υἱῶν Ισραηλ
4 οὗτοι. 4καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· τῆς φυλῆς Ρουβην Σαλαμιηλ
5 6 υἱὸς Ζακχουρ· 5τῆς φυλῆς Συμεων Σαφατ υἱὸς Σουρι· 6τῆς φυ-
7 λῆς Ιουδα Χαλεβ υἱὸς Ιεφοννη· 7τῆς φυλῆς Ισσαχαρ Ιγααλ υἱὸς
8 Ιωσηφ· 8τῆς φυλῆς Εφραιμ Αυση υἱὸς Ναυη· 9τῆς φυλῆς Βενια-
9 10 μιν Φαλτι υἱὸς Ραφου· 10τῆς φυλῆς Ζαβουλων Γουδιηλ υἱὸς Σουδι·
11 11τῆς φυλῆς Ιωσηφ τῶν υἱῶν Μανασση Γαδδι υἱὸς Σουσι· 12τῆς
13 φυλῆς Δαν Αμιηλ υἱὸς Γαμαλι· 13τῆς φυλῆς Ασηρ Σαθουρ υἱὸς
14 15 Μιχαηλ· 14τῆς φυλῆς Νεφθαλι Ναβι υἱὸς Ιαβι· 15τῆς φυλῆς Γαδ
16 Γουδιηλ υἱὸς Μακχι. 16ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν, οὓς ἀπέ-
στειλεν Μωυσῆς κατασκέψασθαι τὴν γῆν. καὶ ἐπωνόμασεν Μωυ-
σῆς τὸν Αυση υἱὸν Ναυη Ἰησοῦν.

17 17Καὶ ἀπέστειλεν αὐτοὺς Μωυσῆς κατασκέψασθαι τὴν γῆν Χα-
νααν καὶ εἶπεν πρὸς αὐτούς Ἀνάβητε ταύτῃ τῇ ἐρήμῳ καὶ ἀνα-
18 βήσεσθε εἰς τὸ ὄρος 18καὶ ὄψεσθε τὴν γῆν, τίς ἐστιν, καὶ τὸν
λαὸν τὸν ἐγκαθήμενον ἐπ᾽ αὐτῆς, εἰ ἰσχυρότερός ἐστιν ἢ ἀσθενής,

9 απηλθον A || 10 απεστη] απηλθεν A† | επι] προς A || 12 γενοιτο A† | και > B*† || 14 αφορισθησεται A | επτα ημ. ult. > A || 15 καθερισθη A† || 16 παρενεβαλεν A | του > B*

13 2 αποστελεις] -στειλας B† || 3 απεστειλεν A† || 4 σαλαμιηλ M] σαμουηλ B†, σαμαλιηλ A | ζακχουρ M] ο > B†, ζαχρου A† || 7 ιγααλ Ra.] ιλααλ B†, ιγαλ A || 12 γαμαλι] γαμαι B(†) || 14 ναβα A† || 15 μαχι A || 18 ει 1°] η A | ισχυρος A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/288 UNIVERSITÄT LEIPZIG